Δαφνούσιον (;) ν 2
Μεσημβρία ν 2
Πρόσλαβα ν 2

σ. 952 712 μ.Χ. ΜΗΔΕΙΑ Βούλγαροι

Αν. 712. Ἐπὶ Αὐτοκράτορος Φιλιππικοῦ.

Νικηφόρου (828) Πατριάρχου Κωνσταντινουπόλεως : Ἱστορία σύντομος ἀπὸ τῆς Μαυρικίου βασιλείας

Migne: P. G. τ.100

Ἐν τούτοις τῶν Βουλγάρων ὁπλιτικὸς ὅμιλος ἀθρόως τοὺς ἐν τῷ Θρᾳκικῷ Βοσπόρῳ οἰκοῦντας ἐπικατέλαβε· καὶ λαὸν πλεῖστον καὶ οὐσίαν οὐκ ὀλίγα παρ' αὐτῶν προνομευσάμενοι, ἀδείας δὲ αὐτοῖς προσγενομένης, καὶ πρὸς τῷ χερσαίῳ τείχει τῆς πόλεως συνελαύνονται, ἄχρι καὶ τῆς Χρυσῆς καλουμένης πύλης προσεκδραμόντες. Εὐθὺς ὑπονοστήσαντες πολλὰ τὰ ἐπὶ Θρᾴκης χωρία καταληΐζονται.

Μετὰ δὲ ταῦτα καὶ τὸ τῶν Σαρακηνῶν ἔθνος τὴν Ῥωμαίων κατέθεον χώραν, καὶ τὰ πλεῖστα μέρη ληϊζόμενοι πλείστην ὅσην βλάβην ἀνθρώποις τε καὶ κτήνεσιν ἐποιοῦντο, τήν τε Μήδειαν καὶ ἕτερα πολίσματα συμπαραλαμβάνουσι.

σ. 976-977 (Petavii Notae).

Ind. 4, a. Copronymi 23 notat Theophanes (p. 365 A). Verum cum primus Copronymi caeperit ind. 9, Christi 741, constat 23 ejusdem in a. quadrare 763 ind. 1, ades ut horribilis haec hiems ind. 2 Octobri mense inchoata sit. Videndam itaque num haec tempestas in a. 765 rejicienda sit.

Ἔτι πρὸς τούτοις οὐδὲ ἐκεῖνο παραδραμεῖν ἄξιον. Ὥρα ἐνέστηκε φθινοπώρου, καὶ ἐν αὐτῇ χειμέριος γίνεται τὸ κατάστημα καὶ τῷ ὄντι κρυερὸν ἢ δριμύτατον, ὡς ξένην τινὰ ἢ ἐξαίσιον τοῖς τὴν καταθρῶσιν ἀπολιθοῦσαι τῆς ὑγρᾶς οὐσίας ἐκ τῆς περὶ αὐτὴν συμβάσης πήξεως τὴν θέαν, οὐκ ἐν τοῖς γλυκέσιν ὕδασι μόνον, ἀλλὰ τὸ δὴ παραδοξότερον, ἢ κατὰ τὴν ἁλμυρᾶς ἰσχῦσαι ποιότητος, καὶ ἐν ἄλλοις μὲν πλείστοις τῶν ἀνὰ τὴν οἰκουμένην τόποις, οὐχ ἥκιστα δὲ τά τε ὑπερβόρεια ἢ προσάρκτια καταπῆξαι δυνάμενα.

Ἐπὶ τοσοῦτο δὲ κατεπυκνοῦτο ἢ λιπαρὴ ὥστε τὴν ὑπερ-πόντιον τοῦ Εὐξείνου θάλασσαν ἐπὶ σημείοις ἑκατὸν

(ἀκολουθεῖ)

ἀποκρυσταλλωθῆναι κατὰ τὸ πέλαγος, ὡς γῆς τοῖς ὑπερκειμένοις μεγίστοις δὴ μάλιστα πλείστοις ποταμοῖς.

Καὶ ἔτι τοῦ ἐπὶ Μεσημβρίαν καὶ Μήδειαν πόλιν ἀρχομένου παράλιον χώραν τῷ πάγει συναποπετρωθῆναι, τὸ δὲ βάθος χωρησάσης τῆς τοιαύτης πήξεως ἄχρι καὶ εἰς τριάκοντα πήχεις, ἐπὶ τούτοις ἀφάτου καταρραγείσης χιόνος εἰς ὕψος αρθῆναι τὸ κρύος ὑπεραναστηκὸς τῆς ἐπιφανείας μέχρι πηχῶν που ἄλλων εἴκοσι, καὶ πως συμφυῆναι τῇ ἠπείρῳ τὴν θάλασσαν ὡς καὶ διαβαίνειν ῥᾳδίως πεζῇ ἑτέρας ἀποκαίρειται.

Οὕτω τε ἅπαν τὸ πρὸς ἄρκτον ἐκπηγῆναι ὕδωρ πεζοῖς καὶ ἀνέτως συγχωρεῖν τοῖς βουλομένοις, βάσιμά τε ἦν τὰ ἐκεῖσε ἅπαντα, ὅσα τε ἐν ταῖς τῶν Χαζάρων γῆς μεθορίοις καὶ τοῖς πλησιοχώροις Σκυθικοῖς ἔθνεσι, καὶ οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ κτήνεσι καὶ ζώοις ἀγρίοις γενόμενα.

Ἄπλωτον δὲ ἤδη ἐντεῦθεν γενέσθαι τὴν Ποντικὴν τότε θάλασσαν.

Ἤρξατο δὲ ἤδη διαπνεούσαις καὶ ὁ ἄπλετος ἐκεῖνος τοῦ παγετοῦ ὄγκος εἰς διάφορα συρρήγνυται τμήματα, ἅπερ εἰς τοσοῦτον ὕψος ἀνεσχηκότα ὄρη δοκεῖν εἶναι ὑψηλά.

Ταῦτα ἀπορραγέντα μέρη τινὰ καὶ τῇ βίᾳ τῶν πνευμάτων συνωθούμενα πρός τε Δαφνουσίαν φρούριον ὄν εἰς τὴν Ποντικὴν μοῖραν, ἐρυμνότατον τυγχάνον, ἐξοκέλλουσι καὶ ἄχρι τοῦ στομίου τοῦ Εὐξείνου καταρρέουσι.

Συστραφέντα δὲ πρὸς ἑαυτά, τὸν αὐτόθι στενὸν πόρον τὸν μεταξὺ πορθμῶν πληρώσαντα, τὰς ἑκατέρωθεν ἠπείρους, τήν τε Θρᾴκην καὶ τὴν Ἀσιάτιδα, ἀλλήλαις συνήνωσαν, ὡς ἐξ ἑκατέρας πρὸς θατέραν πεζῇ μᾶλλον ἢ πλοῒ διαπεραιοῦσθαι ἐξεῖναι τῷ βουλομένῳ.

Ἐκεῖθεν συνωθούμενα ἀνὰ τὴν Προποντίδα μέχρι Ἀβύδου ἐξεχύθησαν, ἥπερ δὴ οὐδὲ θάλασσα εἶναι τὸ λοιπὸν ὑπωπτεύετο.

Τούτων ἓν ἀποσπασθὲν τῇ ἀκροπόλει τοῦ Βυζαντίου προσαράσσεται, καὶ τὸ αὐτόθι τεῖχος περιέσεισεν ὡς καὶ τοὺς ἔνδον οἰκοδομὰς συμμετασχεῖν τοῦ σάλου. Καὶ τοῦτο τριχῇ διαιρεθὲν παρ' ἑκάτερα μέρη τῆς ἀκροπόλεως τὰς ἀκτὰς ἐνεπίμπλησι. Τὸ δὲ ὕψος αὐτοῦ τῶν τῆς πόλεως τειχῶν ὑπερανίστατο. Δι' αὐτῶν τε ἦν ἐξ ἀκροπόλεως πρὸς τὸ ἀντικρύ, ἐν οἷς τὸ Γαλάτου λεγόμενον ἵδρυται φρούριον, πεζῇ διαπεραιοῦσθαι.

Ταῦτα ἔκπληξιν μεγίστην τοῖς τῆς πόλεως ἐνεποίει· τῷ παραδόξῳ γὰρ καὶ ἀδοκήτῳ τῆς θέας ἐν ἀπορίᾳ γενόμενοι θρήνοις καὶ δάκρυσι πλείστοις συνεχόμενοι οἴκοιδε ἀπηλλάσσοντο.